duntur, a reliquis particula *et* vel virgula interpositis seiunxisse: ita ut *A et C nonn.; A nonn., B, CD sing.* significet *A omnes et C nonnullos; A nonnullos, B omnes, CD singulos.* librorum manuscriptorum primarias tantum scripturas commemoravi; quae postea sive in textu sive in margine adscripta sunt, non magis curavi, quam minutias ad rem orthographicam spectantes. editionum iis tantum locis mentionem feci, quibus a sui generis exemplis manu scriptis discrepant.

*Nil.* Enchiridion a S. Nilo Asceta ad usum Christianorum accommodatum: ed. a Suaresio inter S. Nili Opera Romae 1673 *(ed. Rom.)* (Epict. philos. mon. ed. Schw. vol. V, 95—138). cuius opusculi libri manu scripti a Schweighaeusero adhibiti sunt hi:

*(cod. Hafn.)* Codex Hafniensis a Meibomio collatus, cuius scripturas publici iuris fecit Relandus in Enchir. ed. Traiecti ad Rhen. a. 1711.

*(Paris.)* cod. Parisinus 1220 s. XIII. ego praeterea *(Vat., Reg.)* uti potui scripturis cod. Vaticani 1434 s. XI et Reginensis 653 s. XV, quas benigne mecum communicavit C. Wotke.

*Par.* Enchiridii paraphrasis Christiana a Mer. Casaubono Lond. 1659 edita; ad quam denuo recensendam (in Epict. phil. mon. vol. V, 1—94) Schweighaeuser adhibuit quattuor codd. Parisinos (362 s. XV, 858 s. XII, 1053 s. XII, 1302 s. XIV) et cod. *(Med.)* Laurentiani Medicei s. X scripturas a. I. Gronovio in Berkelii ed. altera (Delph. Bat. a. 1683) adlatas.

Ceterum vix est quod moneam me et Nili et Paraphraseos scripturas non integras, sed sicut testimonia e Simplicii commentario *(Simpl.)* petita eo tantum consilio attulisse, ut scripturarum discrepantium, quas codices Enchiridii genuini exhibent, originem indicarem.

Litteris diductis eos Enchiridii locos et verba notavi, quorum in dissertationum libris servatis vel deperditorum fragmentis nihil simile invenitur.

---



# ΕΠΙΚΤΗΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΝ.

**c. 1.** [a] Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ᾽ ἡμῖν, τὰ δὲ οὐκ ἐφ᾽ 1
ἡμῖν. ἐφ᾽ ἡμῖν μὲν [b] ὑπόληψις, ὁρμή, ὄρεξις, ἔκκλισις [c] καὶ ἑνὶ
λόγῳ ὅσα ἡμέτερα [d] ἔργα· οὐκ ἐφ᾽ ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις,
[e] δόξαι, ἀρχαὶ [f] καὶ ἑνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα. [g] καὶ 2
τὰ μὲν ἐφ᾽ ἡμῖν ἐστι φύσει ἐλεύθερα, [h] ἀκώλυτα, ἀπαραπόδιστα,
[i] τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν [k] ἀσθενῆ, [l] δοῦλα, κωλυτά ἀλλότρια.
[m] μέμνησο οὖν, ὅτι, [n] ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς [o] καὶ 3
τὰ ἀλλότρια ἴδια, [p] ἐμποδισθήσῃ, [q] πενθήσεις, [r] ταραχθήσῃ,
[s] μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους, [t] ἐὰν δὲ τὸ σὸν μόνον οἰ-
ηθῇς σὸν εἶναι, [u] τὸ δὲ ἀλλότριον, [v] ὥσπερ ἐστίν, [w] ἀλλότριον,
[x] οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ
οὐδένα, οὐκ ἐγκαλέσεις τινί, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε
βλάψει, [y] ἐχθρὸν οὐχ ἕξεις, [z] οὐδὲ γὰρ βλαβερόν τι πείσῃ. [a] τη- 4
λικούτων οὖν ἐφιέμενος μέμνησο, ὅτι [b] οὐ δεῖ μετρίως

---

**c. 1, s. 1.** [ab, de] I, 22, 10 — [bc] cf. II, 14, 22 — [ef] cf. III, 26, 34 — **s. 2.** [gi] II, 19, 32 — [gh] II, 2, 3 — [hi] cf. I, 25, 3 — [ik, lm] II, 15, 1 (cf. IV, 1, 129; gn. Stob. 31) — [kl] cf. fortasse III, 22, 101 — **s. 3.** [my] cf. omnino II, 6, 8 — [mn] cf. I, 24, 1 (saep.) — [op] III, 22, 38 — [pq] cf. I, 1, 12 — [qr] cf. III, 11, 2 (saep.) — [rs] cf. II, 6, 8 — [st] III, 22, 48 (II, 19, 26) — [uv, wx] cf. IV, 5, 7 — [xy] II, 17, 22; I, 14, 16; III, 24, 79; I, 1, 12 — [za] I, 14, 16 — **s. 4.** [ab, cd, ef, gh] IV, 2, 4 sqq. (cf. IV, 10, 25)

---

**c. 1, s. 1.** 4 δόξα *C un. (Nil., Par. codd. nonn.)* ‖ **s. 2.** 5 ἔστι *om. D (V; εἰσι Par.)* ‖ ⟨εὐσθενῆ⟩, ἀκώλυτα *C un. (sec. Simpl.)* ‖ ἀπαρεμπόδιστα *AB sing., C (ed. Hal., v)* ‖ 6 δοῦλα, ἀσθενῆ *C un. (sec. Simpl.)* ‖ **s. 3.** 7 ἐλεύθερα δοῦλα *A nonn. (V), D, C un.* ‖ 8 πενθήσεις] λυπηθήσῃ *C un. (Par.)* ‖ 9 ⟨καὶ⟩ μέμψῃ *A un., (V)* ‖ 11 οὐδένα μέμψῃ *C un. (Par.)* ‖ 12 οὐδὲ ἐγκαλέσεις οὐδενί *id. (Nil.)* ‖ οὐδέν *id. (Par.)* ‖ 13 ἐχθρὸν οὐχ ἕξεις *om. id. (ante οὐδείς σε βλάψει coll. Nil.)* ‖ **s. 4.** τηλικούτου *AB sing., C nonn. (ed. Hal., v)*

κεκινημένον ἅπτεσθαι αὐτῶν, [c] ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, [d] τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρόν. [e] ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς [f] καὶ ἄρχειν καὶ πλουτεῖν, [g] τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι, [h] πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία
5 περιγίνεται. [i] εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν ὅτι ‘φαντασία εἶ [k] καὶ οὐ πάντως τὸ φαινόμενον’. [l] ἔπειτα ἐξέταζε αὐτὴν [m] καὶ δοκίμαζε τοῖς κανόσι τούτοις οἷς ἔχεις, πρώτῳ δὲ τούτῳ καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν· κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, [n] πρόχειρον ἔστω [o] τὸ διότι ‘οὐδὲν πρὸς ἐμέ’ [p]
1 c. 2. [p] Μέμνησο, ὅτι ὀρέξεως ἐπαγγελία ἐπιτυχία, οὗ ὀρέγῃ, ἐκκλίσεως ἐπαγγελία τὸ μὴ περιπεσεῖν ἐκείνῳ, ὃ ἐκκλίνεται, [q] καὶ ὁ μὲν ⟨ἐν⟩ ὀρέξει ἀποτυγχάνων ἀτυχής, ὁ δὲ ⟨ἐν⟩ ἐκκλίσει περιπίπτων δυστυχής. [r] ἂν μὲν οὖν μόνα ἐκκλίνῃς [s] τὰ παρὰ φύσιν [t] τῶν ἐπὶ σοί, οὐδενί, ὧν ἐκκλίνεις, περιπεσῇ· [u] νόσον δ' ἂν
2 ἐκκλίνῃς ἢ θάνατον ἢ πενίαν, δυστυχήσεις. [v] ἆρον οὖν

---

[de] cf. II, 2, 12 sq. — [eh] IV, 10, 18 sq. — [hi] cf. II, 23, 29 — **s. 5.** [ik, lm] II, 18, 24 (III, 12, 15) — [kl] cf. I, 27, 1 — [mp] cf. III, 3, 14 — [no] cf. IV, 4, 39 — [op] III, 16, 15.
**c. 2, s. 1.** [pq] III, 23, 9 — [qr] cf. IV, 4, 35 — [ru] cf. I, 4, 2 — [st] cf. II, 5, 6 — **s. 2.** [vb] cf. I, 4, 1; Ench. 48, 3; fragm. XXVII — [vw] III, 12, 7 — [wx, x'z] III, 22, 13 (IV, 4, 33)

---

16 ὑπερθέσδαι *C un. (Par.; Simpl.)* ‖ παρὸν ⟨καὶ προηγουμένως ἑαυτοῖς ἐπιμελεῖσθαι⟩ *id. (Par., in qua* ἑαυτοῦ *legitur)* ‖ ταῦτα θέλῃς *A nonn. (V)* ‖ 18 πάντων *D un. (Nil.; Simpl. codd.)* ‖ 19 μόνον *B un. (Nili cod. Hafn. et ed. Rom., Par. codd. nonn.)* ‖ εὐδαιμονία καὶ ἐλευθερία *B et C nonn., AD sing.* ‖ 20 παραγίνεται *ABC sing.* ‖ **s. 5.** τραχείᾳ φαντασίᾳ μάθε *(sic C un. quoque)* ἐπιλέγειν *A nonn. (V), D* ‖ 22 τούτοις *om. C un. (Nil.), adsent. Schw. in Add.* ‖ 23 πότερα *A un. (Nil.)* ‖ 25 διότι] ὅτι *C nonn. (Nil., Par., Simpl.)* ‖ ἐμέ *C un. (Nil., Par.;* ἡμᾶς *Simpl.):* σέ *cett.*
**c. 2, s. 1.** 1 ὀρέξεως ⟨μὲν⟩ *BC* ‖ ἐπιτυχία *Nil.:* ⟨ἐστὶν⟩ ἐπιτυχία *AD,* ⟨ἐστὶ⟩ τὸ ἐπιτυχεῖν *C,* τὸ ἐπιτυχεῖν *B* (τυχεῖν *Par.;* τὸ τ. *Simpl.)* ‖ 2 ἐκκλίσεως *Nil.:* ἐκκλίσεως ⟨δὲ⟩ *Ench. (Par.)* ‖ ἐμπεσεῖν *C un., ed. Hal., v.;* πεσεῖν *B un.* ‖ ᾧ ἐκκλίνεις *C un.* (ὃ *vel* ᾧ *Par.)* ἐκκλινεῖς *Thurot* ‖ 3 ⟨ἐν⟩ *bis add. Nil.;* ⟨ἐν⟩ ὀρέξει *C un.* ‖ 6 δυστυχής *A* (δυστυχήσῃς *A un.)*



τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν [w] καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. τὴν ὄρεξιν δὲ παντελῶς [x] ἐπὶ τοῦ παρόντος [x'] ἄνελε· [y] ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινος, ἀτυχεῖν ἀνάγκη [z] τῶν τε ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν ἄν, οὐδὲν οὐδέπω σοι πάρεστι. [a] μόνῳ δὲ τῷ ὁρμᾶν καὶ ἀφορμᾶν χρῶ, κούφως μέντοι καὶ μεθ' ὑπεξαιρέσεως καὶ ἀνειμένως.[b]

**c. 3.** [b] Ἐφ' ἑκάστου [c] τῶν ψυχαγωγούντων [d] ἢ χρείαν παρεχόντων [d'] ἢ στεργομένων μέμνησο ἐπιλέγειν, ὁποῖόν ἐστιν, [e] ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος· [f] ἂν χύτραν στέργῃς, ὅτι ‘χύτραν στέργω’. κατεαγείσης γὰρ αὐτῆς οὐ ταραχθήσῃ· ἂν παιδίον σαυτοῦ καταφιλῇς ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· [g] ἀποθανόντος γὰρ οὐ ταραχθήσῃ.

**c. 4.** [h] Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτόν, ὁποῖόν ἐστι τὸ ἔργον. ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ, [i] τοὺς ἀπορραίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας. [k] καὶ οὕτως [l] ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, [m] ἐὰν

---

[yz] IV, 4, 35 — [za] cf. IV, 1, 84 — [ab] cf. fragm. XXVII.
**c. 3.** [bg] III, 24, 84 sqq. — [cd] cf. II, 16, 38 (?) — [dd'] cf. I, 19, 4 (?) — [ef] cf. quae ad Ench. 12, 2 adn.
**c. 4.** [hi] cf. III, 10, 1 et III, 15, 1 — [kn] cf. II, 2, 2 — [lm] III, 21, 12 — [mo, pq] III, 4, 9

---

**s. 2.** 10 εὐτυχεῖν *B (praeter ed. Hal.);* ἀποτυχεῖν *C un.* (ἀποτυγχάνειν *Par.)* ‖ τε] *om. B (Par. ed.);* δὲ *C un. (Nili ed. Rom.;* δ' οὐκ *Nili codd. omn.)* ‖ ὅσα *A nonn., (V;* ὅσον *Nil.; Par. ed. et cod. un.)* ‖ ἂν *om. C nonn. (Nil., Par.)* ‖ 11 οὐδὲν *om. B et C nonn. (Nili ed. Rom., contra codd. omnes)* ‖ καὶ] ἢ *C un. (Nil.)* ‖ 12 μέντοι *om. A nonn. (V; Par.;* ἀνυπερθέτως *Nil.)*
**c. 3.** 1 ἑκάστῳ *AD et C un. (Par.)* ‖ χρείας *B et C un. (Nil.)* ‖ παρασχόντων *B et C un.* ‖ 2 ὁποῖόν ⟨τι⟩ *et* σμικροτέρων *C un. (Par.)* ‖ 3 ἀρχόμενος *B et C nonn., (v)* ‖ στέργῃς] σείῃς *A* ‖ 4 στέργω] σείω *A* (σείεις *V);* στέργεις *C nonn. (ed. Hal., v; Par.)* ‖ 5 αὐτοῦ *A un. (V;* σου *Nil.)* ‖ 6 γὰρ ⟨αὐτοῦ⟩ *C un., (V, ed. Hal.)*
**c. 4.** 1 ἅψασθαι *B et C un. (v)* ‖ ὑπόμνησον *C un. (ed. Hal., v)* ‖ 2 ὁποῖόν ⟨τι⟩ *C nonn. (Nil., Par.)* ‖ πρόβαλε *BC sing. (ed. Hal.; v)* ‖ 3 ἀπορρέοντας *B (v)* ‖ 4 ἐγκρουομένους] ἐνσειομένους *C un. (Nil.); nonnulla hic om. AC sing.*